UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

Eusebius <Caesariensis>

Mogvntiae, 1672

XXIII. Quomodo ad Aegyptios scripserit, eósque ad pacem hortatus sit.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

A

Caput XXII.

Quomodo alios quidem hortatus ſit, ad alios autem ſcripſerit, & de pecuniarum diviſione.

TAnto igitur ſucceſſu Imperator exhilaratus, iis qui Synodo minimè interfuiſſent, gratiſſimum fructum per literas præbuit. Sed & univerſis populis, tam iis qui per agros quàm qui in urbibus habitabant, magnam pecuniæ vim diſtribui juſſit; publicam feſtivitatem ob viceſimum Imperii ſui annum hac ratione concelebrans.

ΚΕΦΑΛΑΙΟΝ ΚΒ.

Ὅπως οὓς μὲν προέπεμψεν, οἷς δὲ ἔγραψε, καὶ χρημάτων διαδώσεις.

ΧΑίρων δῆτα βασιλεὺς ἐπὶ τῷ κατορθώματι, τοῖς μὴ παρατυχοῦσι τῇ συνόδῳ καρπὸν εὐθαλῆ δεδώρητο δι' ἐπιστολῶν. λαοῖς θ' ἅπασι, τοῖς τε κατ' ἀγροὺς καὶ τοῖς ἀμφὶ τὰς πόλεις, χρημάτων ἀφθόνους διαδόσεις ποιεῖσθαι παρεκελεύετο. ὧδέ πη γεραίρων τὴν ἑορτὴν τῆς εἰκοσαετοῦς βασιλείας.

B

Caput XXIII.

Quomodo ad Ægyptios ſcripſerit, eoſque ad pacem hortatus ſit.

VErùm cunctis inter ſe pacem colentibus, apud ſolos Ægyptios implacabilis contentionis furor ardebat: adeò ut moleſtiam quidem exhiberent Imperatori; non ideo tamen eum ad iracundiam excitarent. Illos enim ut patres, aut potius ut Prophetas Dei, omni honore Imperator afficiens; iterum ad ſe vocavit; iterum arbiter eorundem fuit; iterum eos muneribus ac donis honoravit. Sententiam quoque quam arbiter dixerat, per epiſtolam ſignificavit; confirmans & ſanciens ea quæ à Synodo decreta fuerant; eoſque adhortans ut concordiæ ſtuderent, nec Eccleſiæ corpus diſtrahere ac diſcerpere vellent, ſed futurum Dei judicium animo reputarent. Et hæc quidem Imperator ſpeciali epiſtola eis ſuggeſſit.

ΚΕΦΑΛΑΙΟΝ ΚΓ.

Ὅπως περὶ εἰρήνης Αἰγυπτίοις ἔγραψέ τε καὶ παρῄνει.

ΑΛλὰ γὰρ ἁπάντων εἰρηνευομένων, μόνοις Αἰγυπτίοις ἄμικτος ἦν ἡ πρὸς ἀλλήλους φιλονεικία. ὡς καὶ αὖθις ἐνοχλεῖν βασιλεῖ μὲν, καὶ πρὸς ὀργὴν ἐγείρειν. οἷα γοῦν πατέρας, ἢ καὶ μᾶλλον Προφήτας Θεοῦ, πάσῃ τῇ … πων τιμῇ, καὶ δεύτερον ἐκάλει. καὶ πάλιν ἐμεσίτευε τοῖς αὐτοῖς ἀνεξικάκως. καὶ δωρήματα πάλιν, ἐδήλου τε τὴν δίαιταν δι' ἐπιστολῶν, καὶ τὰ τῆς συνόδου δόγματα κυρῶν ἐπεσφραγίζετο. C παρεκάλει τε συμφωνίας ἔχεσθαι, μὴ δὲ διασπᾶν καὶ κατατέμνειν τὴν ἐκκλησίαν, τῆς δὲ τοῦ Θεοῦ κρίσεως ἐν νῷ τὴν μνήμην λαμβάνειν. καὶ ταῦτα δὲ βασιλεὺς δι' οἰκείας ἐπέστελλε γραφῆς.

Caput XXIV.

Quomodo Epiſcopis & plebibus religioſas literas ſæpius ſcripſit.

SEd & alia plurima ejuſmodi ſcripſit, ac pæne innumerabiles exaravit epiſtolas; nunc Epiſcopis præſcribens ea, quæ ad Eccleſiarum Dei utilitatem ſpectabant: nunc ipſas plebes per literas compellans, fratreſq; & conſervos ſuos nominans Eccleſiæ populos, vir beatiſſimus. Verùm hæc ſeparato Volumine colligere, aliàs fortaſſe otium fuerit, ne hujus Hiſtoriæ noſtræ ſeries interrumpatur.

ΚΕΦΑΛΑΙΟΝ ΚΔ.

Ὅπως Ἐπισκόποις καὶ λαοῖς εὐλαβῶς πολλάκις ἔγραφε.

ΚΑὶ ἄλλα δὲ τούτοις ἔγραφεν ἀδελφὰ D μυρία, πλείστας θ' ὅσας ἐπιστολὰς διετύπου. ἐν μέρει μὲν Ἐπισκόποις ὑπὲρ τῶν ἐκκλησιῶν τοῦ Θεοῦ τὰ πρόσφορα διαθεσμοθετῶν· ἤδη δὲ καὶ αὐτοῖς προσεφώνει τοῖς πλήθεσιν, ἀδελφοὺς ἀποκαλῶν καὶ συνθεράποντας ἑαυτοῦ τοὺς τῆς ἐκκλησίας λαοὺς, ὁ τρισμακάριος. σχολὴ δ' ἂν γένοιτο ταῦτα ἐπὶ ἰδίας ὑποθέσεως συναγαγεῖν, ὡς ἂν μὴ τὸ σῶμα τῆς παρούσης ἡμῖν διακόπτοιτο ἱστορίας.